73. Σχολαστικὸς ἐπὶ τῆς οἰκίας σεκούτωρος σχῆμα λαβὼν ἔπαιζεν . ἄφνω δέ τινος ἀπαγγείλαντος αὐτῷ τὴν παρουσίαν τοῦ πατρός, ῥίψας τὸ ὅπλον, ἔλυε τὴν κνημῖδα . φθάσαντος δὲ τοῦ πατρὸς αὐτῷ ἐπιστῆναι, ἔχων τὴν περικεφαλαίαν βιβλίον ἀνεγίνωσκε.

73. λαβών, *con* (cfr. I, 53) — σεκούτωρος, *di gladiatore* — ἀπαγγείλαντος τὴν παρουσίαν, *avendo annunziato l'arrivo* — κνημῖδα (cfr. κνήμη, *tibia*), *schiniere* — φθάσαντος (genit. assol.) ἐπιστῆναι, *essendosi affrettato ad avvicinarsi* — ἔχων τὴν περικεφαλαίαν, *con l'elmo in testa* — ἀνεγίνωσκε, *leggeva.*

74. Σχολαστικὸς ἐπανερχόμενος ὅθεν ἀπεδήμησε καὶ ἀναβαίνων ὑψηλὴν ἀνάβασιν, ἐθαύμαζε λέγων · « ἐνταῦθα ὅτε πρῶτον, ὡς ἐπ'ἐκεῖνα, ὥδευον, κατάβασις ἦν · καὶ πῶς νῦν ταχέως ἠλλάγη καὶ ἀνάβασις γέγονε »;

74. ὅθεν, *unde* — καὶ (si può sopprimere) — ἀναβαίν..., *salendo su di un' eminente altura* — ὥδευον ἐνταῦθα, *passavo di qua* — ὡς ἐπ'ἐκεῖνα, *per (andar) di là* — γέγονε, *è diventata.*

---

75. Σχολαστικὸς πλέων ἐπύθετο τοῦ κυβερνήτου πόστη [εἴη] ὥρα · τοῦ δὲ μὴ γινώσκειν φήσαντος, ἠρώτησε πόσος [εἴη] χρόνος ἀφ'οὗ τὴν ναῦν κυβερνᾷ · τοῦ δὲ τρία ἔτη φήσαντος, « πῶς οὖν ἐγώ » ἔφη « πρὸ ἓξ μηνῶν οἰκίαν πριάμενος, ὅταν εἰς τὴν αὐλὴν κατέλθῃ ὁ ἥλιος, τῆς ὥρας στοχάζομαι, σὺ δὲ ἀπὸ τοῦ πλοίου τεκμήρασθαι οὐ δύνασαι, τοσούτῳ χρόνῳ αὐτὸ κυβερνῶν » ;

75. ἐπύθετο (πυνθάνομαι, col *genit.*), *domandò* — πόστη (εἴη) ὥρα, *quota hora esset* — μή (meglio. οὐ; cfr. I, 7) γινώσκειν, *che non (lo) sapeva* — πῶς οὖν, *come mai?* — πρὸ ἓξ μηνῶν, *sei mesi fa* — στοχάζομαι (col *genit.*), *determino* — τοσούτῳ χρόνῳ, *da tanto tempo.*

---

76. Σχολαστικὸς σοφιστὴς ἀξιούμενος τῶν ἀποθνησκόντων ἐπιταφίους λέγειν, ἑνὸς ἔτι ζῶντος ἔγραψεν ἐπιτάφιον · ὃς ἐνεκάλει αὐτῷ ἐπὶ τούτῳ . ὁ δέ « ἂν οὖν ὑμεῖς » φησί « μὴ προλέγητε ὅταν ἀποθνήσκητε, ἐγὼ ἐξ αὐτοσχεδίου λέγων βούλεσθε ἵν' ἀσχημονήσω » ;

76. ἀξιούμενος, *che era creduto capace* — ἐνεκάλει (comp. da ἐν, col *dat.*), *redarguiva* — ἄν (= ἐάν) οὖν μὴ προλέγητε, *ma se non*

preavvisate. Protasi negat. periodo ipot. *eventualità* — ὅταν, col *cong.* — βούλεσθε ἐγὼ λέγων (part. *predicat*) ἐξ αὐτοσχεδίου, *volete che is improvvisi* — ἵν᾽ἀσχημονήσω. *affinchè sbagli?*

---

77. Σχολαστικὸς συμφοιτητὰς ἐπὶ δεῖπνον καλέσας, ἐπαινεσάντων αὐτῶν ὑὸς κεφαλὴν καὶ ἀξιωσάντων καὶ τῇ ὑστεραίᾳ παρ᾽αὐτῷ ἑστιαθῆναι, ἀπελθὼν πρὸς τὸν μάγειρον, « δός μοι » ἔφη « ἀπὸ τοῦ αὐτοῦ χοίρου κεφαλὴν ἑτέραν · ἡ γὰρ χθὲς ἡμῖν πάνυ ἤρεσεν ».

77. ὑὸς (*sus*) κεφαλήν, *una testa di porcetto* — καὶ τῇ ὑστεραίᾳ (sott. ἡμέρᾳ), *anche il giorno seguente* (dat. *di tempo*) — ἡ χθές (l'*art*, col suo *primit.* valore di *dimostrat.* Cfr. I. 27), *quella di ieri* — πάνυ (*omnino*, cfr. πᾶς) ἤρεσεν (ἀρέσκω), *piacque immensamente.*

---

78. Σχολαστικὸς ἠρώτα τὸν πατέρα αὐτοῦ « ἡ πεντακότυλος λήκυθος πόσον χωρεῖ »;

78. λήκυθος πεντακότυλος, *un'anfora di cinque tazze* — πόσον, *quantum* — χωρεῖ *contiene?*

---

79. Σχολαστικὸς μαθὼν περὶ κλίμακός τινος ὅτι ἀναβαινόντων ἔχει βαθμοὺς εἴκοσιν, ἐπύθετο εἰ καὶ καταβαινόντων τοσοῦτοί εἰσιν.

79. μαθών (μανθάνω), *avendo appreso* — ἀναβαινόντων, *nel salire*; (καταβαινόντων, *nel discendere*), genit. *assol.* — τοσοῦτοί εἰσιν, *erano altrettanti.* Per il tempo, Cfr. I. 1.

80. Σχολαστικὸς, διαλεγομένων τινῶν περὶ ἀπεψίας, ἔλεγε μηδεπώποτε ἠπεπτηκέναι. τῶν δὲ πυνθανομένων εἰ μηδέποτε ἠρεύξατο πικρὸν ἢ ἀηδές, « τοῦτο » εἶπε « ποιῶ καθ᾿ἑκάστην ἡμέραν ».

80. περὶ ἀπεψίας, *di indigestione* — μηδεπώποτε ἠπεπτηκέναι, *non* (*ne*) *aveva mai sofferto* — ἠρεύξατο (ἐρεύγομαι) πικρὸν (acc. *avverb.*) ἢ ἀηδές (acc. *avv*), *ebbe eruttazioni amare o moleste.*

---

81. Σχολαστικῷ υἱὸς ἐγεννήθη. πυνθανομένων δὲ τινῶν αὐτοῦ ποῖον ὄνομα αὐτῷ θήσεται, « τὸ ἐμόν », ἔξει ὄνομα, κἀγὼ τέως οὕτω μενῶ ».

81. ἐγεννήθη (γίγνομαι) — πυνθανομένων (col *genit.*, αὐτοῦ), *poichè gli domandavano* — ποῖον ὄνομα, *quod nomen* — θήσεται (*tempo* del *disc. dir.*), *sarebbe posto* — κἀγώ (crasi) — τέως, *intanto* — οὕτω (innanzi a *conson.* sta per οὕτως), *così* (cioè *senza alcun nome* — μενῶ, *manebo.*

---

82. Σχολαστικοὶ δύο δειλοί, ὁ μὲν ἔκρυψεν αὐτὸν εἰς φρέαρ, ὁ δὲ εἰς καλαμῶνα. χαλασάντων οὖν κράνος τῶν στρατιωτῶν ἐπὶ τὸ ὕδωρ ἀρύσασθαι, νομίσας στρατιώτην κατιέναι, ἱκετεύων ἐλήφθη. ὡς δὲ ἔφασαν οἱ στρατιῶται ὅτι εἰ ἐσιώπησε, παρῆλθον ἂν αὐτόν, ὁ δὲ ἐν τῷ καλαμῶνι κρυβόμενος « οὐκοῦν » εἶπεν « ἐμὲ παρέλθετε · σιωπῶ γάρ ».

82. ἔκρυψεν αὐτόν (per ἑαυτόν, *attico, pron. rifless.*), *se abdidit* — ἐπὶ ἀρύσασθαι (ἀρύω), *per attingere* (*costrutto singol.*) — κατιέναι, *che discendesse* — ἐλήφθη, *fu preso* — εἰ ἐσιώπησε, *se avesse taciuto.* Protasi periodo ipot. *irrealtà* (condiz. *mancata nel passato*) — παρῆλθον ἂν αὐτόν, *lo avrebbero lasciato* (*inosservato*) — ὁ δὲ κρυβόμενος, *quello che era nascosto* — οὐκοῦν, *orbene* (partic. *assicurat.*).

83. Σχολαστικὸς, τῆς γυναικὸς αὐτοῦ ἀποθανούσης, σορὸν ἠγόραζε καὶ περὶ τῆς τιμῆς ἐζυγομάχει. τοῦ δὲ πωλοῦντος ὀμόσαντος μὴ ἔλαττον πέντε μυριάξων πωλήσειν, ὁ δὲ «ἐπειδή» ἔφη «προσείληψαι τῷ ὅρκῳ, λαβὲ μὲν τὰς πέντε μυριάδας, εἰς προσθήκην δέ μοι μικρὸν σορίδιον δὸς, ἵνα, ἐάν μου χρεία παιδίῳ γένηται, ἕτοιμον ᾖ».

---

83. ἀποτανούσης (θνήσκω), *essendo morta* — σορόν, *un'urna* — τοῦ πωλοῦντος ὀμόσαντος (ὄμνυμι), *siccome il venditore giurò* — μὴ πωλήσειν, *di non (poterla) vendere* (cfr. I, 2) — ἔλαττον..., *per meno di cinque mila (dramme)* — ἐπειδὴ προσείληψαι (λαμβάνω), *poichè sei stato vincolato* — δὸς εἰς προςθήκην, *da' in cambio* — ἵνα ᾖ (*ut sit*) ἕτοιμον, *affinchè (quella somma gli) venga in pronto* — ἐάν μου χρεία παιδίῳ γένηται, *se il mio figliuolo (ne) abbia bisogno*. Protasi periodo ipot. *eventualità*.

---

84. Σχολαστικῷ τις λέγει· «χρῆσόν μοι βίρρον μέχρις ἀγροῦ». ὁ δὲ «μέχρι σφυροῦ» εἶπεν «ἔχω· μέχρι δὲ ἀγροῦ οὐκ ἔχω».

84. χρῆσον (χράω), *presta* — βίρρον (voc. singol.), *un tabarro* — μέχρι (μέχρις, innanzi a *voc.*) σφυροῦ, *fino al tallone.*

---

85. Σχολαστικὸς ἐπ' ὀχήματος ὥδευεν. ἐπεὶ δὲ ἀτονήσασαι αἱ ἡμίονοι οὐκ ἠδύναντο βαδίζειν, ὑπέλυσεν αὐτὰς ὁ ἡνίοχος, ἵνα μικρὸν ἀναλάβωσι. λυθεῖσαι οὖν ἔφυγον. καὶ ὁ σχολαστικὸς πρὸς τὸν ἡνίοχον «κάθαρμα», εἶπεν «ὁρᾷς ὅτι αἱ μὲν ἡμίονοι τρέχουσι. τὸ δὲ ὄχημά ἐστιν αἴτιον, [τὸ] δραμεῖν μὴ δυνάμενον».

85. αἱ ἡμίονοι, *le mule* (*da* ἥμισυς ὄνος. *semis asinus*) — ἀ-τονήσασαι, *essendo spossate* — ἀναλάβωσι, *si riavessero* — (τὸ) δραμεῖν (τρέχω) μὴ δυνάμενον, *che esse non possono correre.*

86. Σχολαστικὸς ἀδελφοὺς διδύμους ἰδών, θαυμαζόντων τινῶν τὴν ὁμοιότητα αὐτῶν, « οὐχ οὕτως » φησίν « ὅμοιός ἐστιν οὗτος ἐκείνῳ, ὡς ἐκεῖνος τούτῳ ».

86. διδύμους (raddopp. di δύο) ἀδελφούς, *due gemelli* — οὕτως, ὡς (avv. *correl.*), *ita, ut* — οὗτος, ἐκεῖνος, *hic, ille.*

---

87. Σχολαστικῷ τις λέγει « Δημέα, τρίτην ἡμέραν σε ἐνθάδε ἐν ὕπνοις εἶδον » . ὁ δὲ « ψεύδῃ » . εἶπεν « ἐν ἀγρῷ γὰρ ἤμην ».

87. Δημέα, *o Demeo* — τρίτην ἡμέραν, *tre giorni fa* — εἶδον (ὁράω) — ψεύδῃ (ψεύδομαι), *t'inganni* — ἤμην (ἦμαι), *mi trovavo.*

---

88. Σχολαστικὸς μετὰ δύο ἑταίρων διελέγετο . τοῦ ἑνὸς οὖν εἰπόντος ὅτι μὴ δίκαιόν ἐστι πρόβατον σφάζεσθαι · γάλα γὰρ καὶ ἔριον ἀφθόνως φέρει · καὶ τοῦ ἄλλου εἰπόντος ὅτι μηδὲ βοῦν προσήκει ἀναιρεῖσθαι, γάλα παρέχουσαν καὶ ἀροτριῶσαν· ὁ σχολαστικὸς ἔφη μηδὲ χοῖρον δίκαιον εἶναι ἀναιρεῖσθαι, ἧπαρ παρέχοντα καὶ οὖθαρ καὶ βουλβάν.

88. ἀφθόνως (da ἄ-φθονος, *senza invidia*), *in gran quantità* — βοῦν, *una vacca* (di *gen. comune*) — ἀροτριῶσαν (part. apposit. *causale*), *perchè ara* — οὖθαρ (*uber*), *poppa* — βουλβάν (vocab. popol. lat., *vulva*), *vulva.*

CAP. II. — Dal φιλόγελως.

1. Φιλάργυρος διαθήκας γράφων ἑαυτὸν κληρονόμον ἔταξε.

1. διαθήκας (cfr. τίθημι), *disposizioni testamentarie.*

---

2. Φιλάργυρος ἐρωτώμενος διὰ τί ἄλλο οὐδὲν εἰ μὴ μόνον ἐλαίας ἐσθίει, ἔφη · « ἵνα τὸ μὲν ἔξωθεν ἀντὶ ὄψου ἔχω, τὸ δὲ ὀστοῦν ἀντὶ ξύλου · φαγὼν δέ, εἰς τὴν ἑαυτοῦ κεφαλὴν σπογγισάμενος, λουτροῦ οὐκ ἐπιδέομαι ».

2. φιλ. ἐρωτ..., *essendo stato chiesto ad un avaro* (costruz. *person.*) — διὰ τί, *perchè* — ἄλλο οὐδὲν εἰ μή, *nihil aliud nisi* — τὸ μὲν ἔξωθεν, *la parte esteriore* — φαγών, *dopo aver mangiato* — εἰς τὴν ἑαυτοῦ κεφαλὴν σπογγισάμενος (cfr. σπόγγος, *fungus*), *astersami la testa con una spugna* — λουτροῦ (cfr. λούω, *luo, lavo*), *di bagno.*

---

3. Πεπανόπτωχος εἰωθὼς τὴν φίλην αὐτοῦ ἐξαπατᾶν ὡς εὐγενής τε ὢν καὶ πλούσιος, εἰς τοὺς γείτονας σιτευόμενος ὡς εἶδεν ἄφνω τὴν φίλην, στραφεὶς ἐφώνει · « πέμψον δή μοι καὶ τὸ φιβλατώριον ».

3. πεπανόπτωχος, *un vagheggino* (da πᾶν ὁράω, *guardo tutto*) — εἰωθὼς (ἔθω) ἐξαπατᾶν, *che soleva ingannare* — ὥς τε ὤν, *dandosi a credere* (cfr. I, 14, *come se fosse*) — τὸ φιβλατώριον, *il pastrano dalle fibbie di oro.*

---

4. Ἄλλος ὁμοίως μεγαλαυχούμενος τελείως δὲ πενητεύων, [καὶ] κατὰ τύχην νοσήσας, τῆς δὲ φίλης αὐτοῦ αἰφνίδιον ἐπελ-

θούσης καὶ εὑρούσης αὐτὸν ἐπὶ ψιάθου κείμενον, ἐντραπεὶς ᾐτιᾶτο τοὺς ἰατροὺς λέγων · « οἱ καλοὶ ἰατροὶ καὶ δόκιμοι τῆς πόλεως ἐκέλευσάν με ψιαθισθῆναι ».

4. ἄλλος, *alius* — μεγαλαυχούμενος, *che millantavasi* — ἐντραπείς, *preso da vergogna* — ᾐτιᾶτο. *incolpava* — ψιαθισθῆναι, *dormire su di una stuoia.*

---

5. Ἀλαζὼν ἐν ἀγορᾷ παῖδα ἑαυτοῦ θεασάμενος ἐκ τοῦ ἀγροῦ νεωστὶ ἐλελυθότα, εἶπε · « τί ποιοῦσι τὰ πρόβατα » ; ὁ δὲ εἶπε · « τὸ μὲν καθεύδει, τὸ δὲ ἵσταται ».

5. ἀλαζών, *un vanitoso* — νεωστί (*nuper*) ἐληλυθότα (ἔρχομαι), *che allora allora era tornato* — τὸ μέν, *una*; τὸ δέ, *l'altra.* Aveva due sole pecore.

---

6. Μωρὸς ἀκούσας ὅτι ἐν ᾅδου δίκαια τὰ κριτήρια, πρᾶγμα ἔχων, ἀπήγξατο.

6. τὰ κριτήρια (cfr. κρίνω, *giudico*), *i tribunali* (sott. *sono*) — πρᾶγμα, *una lite* — ἀπήγξατο (ἄγχω), *s'impiccò.*

CAP. III. — Gli Abderiti.

1. Ἐν Ἀβδήροις διῃρεῖτο ἡ πόλις εἰς δύο μέρη, οἵ τε πρὸς ἀνατολὰς οἰκοῦντες καὶ οἱ πρὸς δύσιν . πολεμίων οὖν ἄφνω τὴν πόλιν ἐφορμησάντων, καὶ πάντων θορυβουμένων, οἱ πρὸς τὸ ἀνατολικὸν οἰκοῦντες μέρος πρὸς ἀλλήλους ἔλεγον · « ἡμεῖς μὴ θορυβηθῶμεν · οἱ γὰρ πολέμιοι ἐπὶ τὰς δυτικὰς εἰσέρχονται πύλας ».

1. Ἄβδηρα, *Abdera*. Antica città della Tracia, sull' Egeo (patria dei filosofi Democrito e Protagora) i cui abitanti erano in fama di semplici e stolti — διῃρεῖτο (αἱρέω), *era divisa* — πρὸς ἀνατολάς (cfr. ἀνατέλλω), *ad oriente* — πρὸς δύσιν (cfr. δύω), *ad occidente* — ἐφορμησάντων, *avendo assalito* — πρὸς ἀλλήλους, *fra loro* (cfr. I, 11) — μὴ θορυβηθῶμεν (cong. *proibitivo*).

---

2. Ἐν Ἀβδήροις ὄνος λαθὼν εἰς τὸ γυμνάσιον εἰσῆλθε, καὶ τὸ ἔλαιον ἐξέχεεν . οἱ δὲ συνελθόντες καὶ μεταπεμψάμενοι πάντας τοὺς ἐν τῇ πόλει ὄνους καὶ εἰς ἕνα συναγαγόντες τόπον, πρὸς τὸ ἀσφαλίσασθαι ἐνώπιον αὐτῶν τὸν ὄνον ἐμαστίγωσαν.

2. λαθών (λανθάνω). Partic. *predicat.* (spesso si traduce *avverbial.*), *furtivamente* — ἐξέχεεν (χέω, aor. ἔχεα), *fece versare* — συνελθόντες, *riunitisi* — ἐνώπιον (cfr. ὁράω) αὐτῶν, *in loro cospetto.*

---

3. Ἀβδηρίτης ἀπάγξασθαι βουλόμενος καὶ τοῦ σχοινίου διαρραγέντος, τὴν κεφαλὴν ἐπλήγη . λαβὼν οὖν ἔμπλαστρον παρὰ τοῦ ἰατροῦ καὶ θεὶς κατὰ τοῦ τραύματος, ἀπελθὼν πάλιν ἀπήγξατο.

3. ἀπάγξασθαι (ἄγχομαι), *strangolarsi* — διαρραγέντος (ῥήγνυμι), *essendosi spezzata* — ἐπλήγη (πλήσσω), *si ferì* — ἔμπλαστρον, *un empiastro.*

---

4. Ἀβδηρίτης ἰδὼν δρομέα ἐσταυρωμένον, εἶπε· « μὰ τοὺς θεούς, οὗτος οὐκ ἔτι τρέχει, ἀλλὰ πέτεται ».

4. ἐσταυρωμένον (σταυρόω), *confitto in croce* — μά (cfr. I, 8) — οὐκ ἔτι, *non più.*

---

5. Ἀβδηρίτης λεκάνην ἐπώλει μὴ ἔχουσαν ὠτία. τινὸς δὲ ἐρωτήσαντος διὰ τί αὐτῆς ἦρε τὰ ὠτία, ἀπεκρίνατο· « ἵνα μή, ἀκούσασα ὅτι πωλεῖται, φύγῃ ».

5. λεκάνην, *un orciolo* — ὠτία (cfr. οὖς, *orecchio*), *anse* — διὰ τί ἦρε (αἴρω, aor. I), *perchè aveva tolto* — ἵνα μὴ φύγῃ, *ne fugiat.*

---

6. Ἀβδηρίτης κατ' ὄναρ χοιρίδιον ἐπώλει καὶ ἐζήτει δηνάρια ἑκατόν. διδόντος δέ τινος πεντήκοντα, μὴ βουλόμενος λαβεῖν, διύπνισε. καμμύσας οὖν καὶ τὴν χεῖρα προτείνας, εἶπε· « δὸς κἂν τὰ πεντήκοντα ».

6. διδόντος, *mentre (gliene) offriva* — διυπνίζω (cfr. σύπνος, *somnus, sopor*), *mi sveglio* — καμμύσας (voc. *popolare*), *aperti gli occhi* — δὸς κἂν (crasi: *anche se, saltem*), *da' pure.*

---

7. Ἀβδηρίτου στρουθίον ἀπέθανε. μετὰ οὖν χρόνον ἰδὼν στρουθοκάμηλον, εἶπεν· « εἰ ἔζη τὸ στρουθίον μου, ἤδη ἂν τηλικοῦτον ὑπῆρχε ».

7. στρουθίον (*diminut. di* στρουθός), *un passerotto* — μετὰ χρόνον, *dopo qualche tempo* — εἰ ἔζη, *se viveva* Protasi periodo ipot. *irrealtà* — τηλικοῦτον. *così grosso* — ἤδη. *ormai* — ἂν ὑπῆρχε (ὑπάρχειν = εἶναι), *sarebbe.*

---

8. Ἀβδηρίτης εἰς Ῥόδον ἀποδημήσας, ὡς ἐκ τοῦ ὀνόματος τοὺς τοίχους ὠσμᾶτο.

8. ὡς ἐκ τοῦ ὀνόματος, *a causa del suo nome.* Infatti ῥόδον significa *rosa* — ὠσμᾶτο, *odorava.*

---

9. Ἀβδηρίτης ὀνάριόν τινι χρεωστῶν καὶ μὴ ἔχων, παρεκάλει ἵνα ἀντ'αὐτοῦ δύο ἡμιόνους παράσχῃ.

9. ὀνάριον, *un asinello* (*diminut.* di ὄνος) — χρεωστῶν. *dovendo dare* — μή (invece di οὐ, cfr. I, 14) — ἵνα παράσχῃ (ἔχω), *di potergli dare* — ἡμιόνους, *muli.* Perchè ἥμισυς ὄνος letteral. vale *mezzo asino.*

CAP. IV. — I Sidonii.

1. Σιδώνιος ἔπαρχος ἐπ'ὀχήματος ὥδευεν . ἐπεὶ δὲ ἀτονήσασαι αἱ ἡμίονοι οὐκ ἠδύναντο βαδίζειν, ἀπέλυσεν αὐτὰς ὁ ἡνίοχος, ἵνα μικρὸν βοσκηθεῖσαι ἀναλάβωνται . λυθεῖσαι οὖν ἔφυγον. καὶ ὁ ἔπαρχος πρὸς τὸν ἡνίοχον ἔφη · « ὁρᾷς, κάθαρμα, ὅτι αἱ μὲν ἡμίονοι τρέχουσι, τὸ δὲ ὄχημα δραμεῖν μὴ δυνάμενον ἵσταται ».

1. Cfr. I, 85. Σιδώνιος, *di Sidone* (antica e celebre città della Fenicia, oggi *Saida*, *Seïdeh* — μικρὸν (acc. *avverb.*) βοσκηθεῖσαι

dopo di aver pascolato un poco — δραμεῖν (τρέχω) μὴ (meglio, οὐ) δυνάμενον, *non potendo correre.*

---

2. Σιδώνιος γραμματικὸς ἠρώτα τὸν διδάσκαλον · « ἡ πεντακότυλος λήκυθος πόσον χωρεῖ »; « ὁ δὲ εἶπεν » · « οἶνον λέγεις ἢ ἔλαιον »;

2. Cfr. I, 78. γραμματικός, *uno scolaretto* — λήκυθος, *un' ampolla* — πόσον χωρεῖ, *quanto contiene.*

---

3. Σιδωνίῳ μαγείρῳ λέγει τις · « δάνεισόν μοι μάχαιραν ἕως Σμύρνης » . ὁ δὲ ἔφη · οὐκ ἔχω μάχαιραν ἕως ἐκεῖ φθάζουσαν ».

3. Cfr. I, 84. μαγείρῳ (cfr. μάσσω), *ad un macellaio* — δάνεισον (δανείζω), *presta* — ἕως ἐκεῖ φθάζουσαν, *che arrivi fin là* (ἕως, usato nel signif. di *tempo*; inteso in quello di *luogo*).

---

4. Σιδώνιος κεντουρίων ἰδὼν ζευγηλάτην διὰ τῆς ἀγορᾶς ἅμαξαν φέροντα ἐκέλευσεν αὐτὸν τυφθῆναι . τοῦ δὲ εἰπόντος ὅτι « Ῥωμαῖός εἰμι, καὶ οὐ θέμις τύπτεσθαί με διὰ τὸν νόμον », τοὺς βόας ἐκέλευσεν ὁ κεντουρίων μαστιγωθῆναι.

4. κεντουρίων (*voc. lat.*), *un centurione* — ζευγηλάτην (da ζεῦγον ἐλαύνω), *un bifolco* — οὐ θέμις (sott ἐστί), *non è permesso.*

---

5. Σιδώνιος ἰατρὸς λεγάτον ἀπὸ ἀρρώστου αὐτοῦ χιλίας δραχμὰς μετὰ τὸ ἀποθανεῖν αὐτὸν κομισάμενος, ἐκφερομένου δὲ αὐτοῦ τῇ κηδείᾳ ἀκολουθῶν ἐνεκάλει ὡς ὀλίγον αὐτῷ λε-

τον κατέλιπεν. ἐπεὶ οὖν καὶ ὁ υἱὸς τοῦ τελευτήσαντος νόσῳ ἐμπαρεὶς παρεκάλει αὐτὸν ἐπισκεπτόμενον ἀνταγωνίσασθαι τῇ νόσῳ, ὁ ἰατρὸς ἔφη· «ἐὰν πεντακισχιλίας δραχμὰς εἰς λεγάτον καταλείψῃς, ἐγώ σε ἰατρεύσω ὡς τὸν πατέρα σου».

5. λεγάτον (compl. *predic. dell'ogg.*), *in lascito* — μετὰ τὸ ἀποθανεῖν αὐτόν, *a morte sua* — ἀκολουθῶν (col *dat.*) τῇ κηδείᾳ, *seguendo il feretro* — νόσῳ ἐμπαρείς (ἵημι), *essendosi ammalato* — ἀνταγωνίσασθαι τῇ νόσῳ, *combattere il male* — εἰς (meglio, πρός) λεγάτον — ἐὰν καταλείψῃς, *se lasci*. Protasi, *eventualità*.

CAP. V. — I FACETI.

1. Εὐτράπελος ἰδὼν γραμματοδιδάσκαλον ἀφυῆ διδάσκοντα, προσελθὼν ἠρώτα διὰ τί κιθαρίζειν οὐ διδάσκει. τοῦ δὲ εἰπόντος ὅτι «οὐκ ἐπίσταμαι», εἶπε· «πῶς οὖν γράμματα διδάσκεις, μὴ ἐπιστάμενος»;

1. Quest'aneddoto è attribuito a *Diogene Cinico* (Boisson.). Εὐτράπελος, *un uomo lepido* — γραμματοδιδάσκαλον (*voc. singol*). *un maestro di lingua* — ἀφυῆ, *delle inezie* — διδάσκει, *insegnava* (tempo del *disc. dir.*) — μὴ (οὐ) ἐπιστάμενος, *mentre non te ne intendi?*

---

2. Εὐτράπελος κυβερνήτης ἐρωτηθεὶς τί φυσᾷ, εἶπεν· «ἔτνος καὶ κρόμμυα».

2. ἐρωτηθείς, *essendo stato chiesto a* (costr. *person.*) — φυσᾷ, *rende gonfi*.

3. Εὐτράπελον ὀφθαλμιῶντα ἰατρὸς κλέπτης θεραπεύων, δανείσας λύχνον ἔκλεψε. μιᾷ οὖν τῶν ἡμερῶν ἠρώτα αὐτόν· « πῶς ἔχεις τοὺς ὀφθαλμούς »; καὶ ὁ εὐτράπελος ἔφη· « ἀφ' οὗ μοι ἐδάνεισας τὸν λύχνον, οὐ βλέπω αὐτόν ».

3. δανείσας ἔκλεψε (costr. *subordin.*), *chiese in prestito e se la ritenne* — μιᾷ τῶν ἡμερῶν (costr. *singol.*), *un giorno*. Dat. *tempor*, col *partit.* — ἀφ' οὗ (sott. χρόνου), *da quando*.

---

4. Εὐτραπέλῳ ἰατρῷ λέγει τις· « πολλοὺς ἄνθρακας ἔχω ». κἀκεῖνος ἔφη· « ἐὰν κτήσῃ θερμαντήριον, θερμόν σε οὐ λείψει ».

4. ἄνθρακας (letteral. *carboni*), *antraci*, *carbonchi* — κἀκεῖνος (crasi) — ἐὰν κτήσῃ (κτάομαι), οὐ λείψει (λαμβάνω), *se ti provvedi, non mancherà*. Periodo ipotet. *eventualità* — θερμαντήριον, *un braciere*.

---

5. Εὐτράπελος ἀργὸν δρομέα ἰδών, εἶπεν· « οἶδα τίνος χρήζει ὁ κύριός μου οὗτος ». τοῦ δὲ ἀγωνοθέτου ἐρωτήσαντος « τί ἐστίν »; εἶπεν· « ἵππου χρήζει· ἄλλως γὰρ τοὺς ἀνταγωνιστὰς καταλαβεῖν οὐ δύναται ».

5. ἀργόν, *elegante* — χρήζει, *ha bisogno* — ἀγωνοθέτης, *il giudice dei certami, magister ludum* — ἄλλως, *altrimenti*.

---

6. Εὐτράπελος κάπηλος εὑρὼν κλέπτην οἴκοι, εἶπεν· « ηὗρον ὃ οὐκ ἐζήτουν ».

6. κάπηλος, *caupo* — οἴκοι, *domi* (locat.) — ηὗρον (meglio, εὗρον, da εὑρίσκω) ὅ, *inveni quod*.

7. Εὐτράπελος χοῖρον κλέψας ἔφευγεν. ἐπεὶ δὲ κατελαμβάνετο, θεὶς αὐτὸν χαμαὶ καὶ δέρων ἔλεγεν. « ἐκεῖ ὄρυττε, καὶ μὴ παρὰ τὰ ἐμά ».

7. θεὶς χαμαί. *deposto a terra.* Similm.: *humi colloco, pono* — ἐκεῖ, *là* (*avv.* di ἐκεῖνος) — παρὰ τὰ ἐμά, *presso i miei* (*predii*).

---

8. Εὐτράπελος ἰδὼν κακόηχον καὶ κακόφωνον κιθαρῳδόν, ἠσπάσατο λέγων· « χαῖρε, ἀλεκτρυών ». τοῦ δὲ πυθομένου διὰ τί αὐτὸν οὕτω προςηγόρευσεν, ἔφη· « ὅτι, ὅταν σὺ κοκκύσῃς, πάντες ἐγείρονται ».

8. κιθαρῳδόν. *un citaredo* — κακόηχον καὶ κακόφωνον, *che strimpellava e cantava orribilmente* — ἠσπάσατο, *salutò* — χαῖρε, *salve* — κοκκύσῃς (voc. *singol. onomatop.*), *canti* — ἐγείρονται, *si levano* (sott. *per scappar via*).

---

9. Εὐτράπελος φλυάρου κουρέως ἐρωτήσαντος « πῶς σε κείρω »; « σιωπῶν » ἔφη.

9. φλυάρου, *ciarliero* — πῶς κείρω, *come devo radere?*

---

10. Εὐτράπελος ἐν βαλανείῳ ὑπό τινος ὑβρισθείς, μάρτυρας προσέφερε τοὺς παραχύτας. τοῦ δὲ ἀντιδίκου ἀποβαλλομένου ὡς μὴ ὄντας ἀξιοπίστους, ἔφη· « εἰ μὲν ἐν τῷ Δουρείῳ ἵππῳ ὑβρίσθην, προσήγαγον ἂν μάρτυρας τοὺς περὶ Μενέλαον καὶ Ὀδυσσέα καὶ Διομήδην· ἐν δὲ τῷ βαλανείῳ τῆς ὕβρεως γενομένης, ἀνάγκη τοὺς παραχύτας τὸ πραχθὲν μᾶλλον εἰδέναι ».

10. ἐν βαλανείῳ (*balineum, balneum*), *in uno stabilimento balneare* — μάρτυρας, *come testimoni* — ὡς μὴ ὄντας ἀξιοπίστους, *come non attendibili*. Cfr, I, 14 — ἐν τῷ Δουρείῳ (agg. di δόρυ, *legno, asta*) ἵππῳ, *nel cavallo di legno* (*di Troia*) — εἰ ὑβρίσθην, προσήγαγον ἄν, *se fossi stato offeso, avrei addotti*. Per. ipot. *irrealtà* — γενομένης, *essendo stata fatta* — ἀνάγκη (sott.: ἐστί) εἰδέναι (εἶδον) τὸ πραχθέν (πράσσω), *bisogna che conoscano l'accaduto*.

---

11. Εὐτράπελος, δύο ξύστρων παρ'αὐτοῦ ἐκ βαλανείου ἐπιζητουμένων, ὑφ'ἑνὸς μὲν ἀγνωρίστου, ὑπὸ δὲ ἑτέρου γνωρίμου μεν, ἀλλὰ κλέπτου, ὁ εὐτράπελος ἔφη · « σὲ μὲν γνωρίζων, οὐ δώσω · σὲ δὲ μὴ γνωρίζων, οὐ δώσω ».

11. Osserva in quest'anedd. il sogg. *princip. due volte ripetuto*; ed il costr. *singol*. παρά col genit. dopo ἐπιζητεῖν . δύο (qui, *indecl.*), *genit. assol.* — ἀγνώριστος, *sconosciuto* — σὲ γνωρίζων, *perchè ti conosco* (part. apposit. *causale*).

CAP. VI. — I CUMANI.

1. Ἐν Κύμῃ ἐπισήμου τινὸς κηδευομένου, προσελθών τις ἠρώτα τοὺς ὀψικεύοντας · « τίς ὁ τεθνηκώς »; εἷς δὲ Κυμαῖος στραφεὶς ὑπεδείκνυε λέγων · « ἐκεῖνος ὁ ἐπὶ τῆς κλίνης ἀνακείμενος ».

1. Cuma, antica città dell'Asia Minore, fiorente colonia eolica, i cui abitanti erano in fama di semplici e stolti . ἐπισήμου (cfr. σῆμα) τινός, *un uomo insigne* — ὀψικεύοντας (da ὀψὲ ἵκω), *ultimi del corteo* — ὁ ἀνακείμενος, *ille qui requiescit*.

2. Κυμαῖος ἵππον πιπράσκων ἠρωτήθη μὴ δειλὸς εἴη. ὁ δὲ ἀπεκρίνατο · « οὐ μὰ τὴν σωτηρίαν μου. ἐν τῇ φάτνῃ γὰρ μόνος εἱστήκει ».

2. Cfr. I, 8. μὴ εἴη, *num esset* — μὰ τὴν σωτηρίαν μου, *in fede mia* — εἱστήκει (= ἑστήκει), *stava* (pperf. di ἵστημι).

---

3. Κυμαῖος κλεψιμαῖα ἱμάτια ἀγοράσας, διὰ τὸ μὴ γνωσθῆναι ἐπίσσωσεν αὐτά.

3. Cfr. I, 30. διὰ τὸ μὴ γνωσθῆναι, *perchè non fossero riconosciute.*

---

4. Κυμαῖος ἅλωνα μεγάλην ποιήσας, ἔστησεν ἄντικρυς τὴν γυναῖκα αὐτοῦ καὶ ἠρώτα εἰ βλέπει αὐτόν. τῆς δὲ εἰπούσης ὅτι μόλις αὐτὸν βλέπει, ἔφη ἐκεῖνος · « ἀλλ'ἐγὼ εἰς καιρὸν τηλικαύτην ποιήσω ἅλωνα, ὡς μήτε ἐγὼ σέ, μήτε σὺ ἐμὲ ἴδῃς ».

4. ἄντικρυς, *da un lato* — μόλις, *appena* — εἰς καιρόν, *a suo tempo* — τηλικαύτην, ὡς μήτε ἴδῃς, *tantam, ut nec videas.*

---

5. Κυμαῖος ἐπιζητῶν φίλον, ἐκάλει αὐτὸν πρὸ τῆς οἰκίας ὀνομαστί. ἑτέρου δὲ εἰπόντος · « ὑψηλότερον φώνησον, ἵνα ἀκούσῃ », ἀφεὶς τὸ ὄνομα ὃ ᾔδει ἐβόα · « ὑψηλότερε ».

5. ὀνομαστί, *a nome* — ὑψηλότερον φώνησον (φωνέω), *chiama più forte* — ἀφεὶς (ἵημι), *pronunziando* — ᾔδει (οἶδα, imperf. o pperf.), *aveva inteso* — ὑψηλότερε, *o più forte.*

6. Κυμαῖος δανειστοῦ οἰκίᾳ ἐπιβουλεύων καὶ θέλων τὰ μείζονα δάνεια κλέψαι, τὰ βαρύτερα χαρτία ἐπελέγετο.

6. ἐπιβουλεύων οἰκίᾳ, *introdottosi furtivamente nell' abitazione* — δανειστής, *usuraio* — τὰ δάνεια (cfr. δάνος, *donum*), *i valori* — χαρτία (voc. *lat. charta*), *carte.*

---

7. Κυμαίων πόλιν τειχιζόντων, εἷς τῶν πολιτῶν, Λολλιανὸς καλούμενος, δύο κορτίνας ἰδίοις ἐτείχισεν ἀναλώμασι. πολεμίων δὲ ἐπιστάντων, ὀργισθέντες οἱ Κυμαῖοι συνεφώνησαν ἵνα τὸ Λολλιανοῦ τεῖχος μηδεὶς φυλάξῃ, ἀλλ' ἐκεῖνος μόνος.

7. ἐπιστάντων, *avvicinandosi* (gen. *assol.*) — συνεφώνησαν, *si accordarono.*

---

8. Κυμαῖοι προσδοκῶντες ἐξ ἀποδημίας φίλον αὐτῶν ἀξιότιμον, καὶ βουλόμενοι αὐτὸν ἐν τῷ βαλανείῳ διὰ καθαροῦ ὕδατος τιμῆσαι, μίαν ἔχοντες κολυμβήθραν, ταύτην ὕδατος θερμοῦ καθαροῦ πλήσαντες, ἐν μέσῳ αὐτῆς κάγκελλον τρητὸν ἔβαλον, ὅπως τὸ ἥμισυ τοῦ ὕδατος καθαρὸν τῷ προσδοκωμένῳ τηρῆται φίλῳ.

8. προσδοκῶντες, *aspettando* — ἐξ ἀποδημίας, (*di ritorno*) *da un viaggio* — κολυμβήθραν, *vasca da bagno* — πλήσαντες (πίμπλημι, col *genit*), *riempita* — κάγκελλον (voc. *singol.*) τρητόν (τιτράω), *un cancello perforato* — ὅπως τηρῆται, *affinchè fosse serbata.*

---

9. Κυμαῖος ἐν τῷ κολυμβᾶν βροχῆς γενομένης, διὰ τὸ μὴ βραχῆναι εἰς τὸ βάθος κατέδυ.

9. ἐν τῷ κολυμβᾶν, *mentre nuotava* — διὰ τὸ μὴ βραχῆναι (βρέχω), *per non bagnarsi.*

10. Κυμαῖος θυρίδας ἀγοράζων ἠρώτα εἰ δύνανται πρὸς μεσημβρίαν βλέπειν.

10. πρὸς μεσημβρίαν, *a mezzogiorno.*

---

11. Κυμαῖος ὄνῳ ἐπικαθήμενος παρὰ κῆπον ὥδευεν. ἰδὼν οὖν κλάδον συκῆς ὑπερέχοντα σύκων ὡρίμων πεπληρωμένον, ἐπελάβετο τοῦ κλάδου. τοῦ δὲ ὄνου ὑπεκδραμόντος ἀπεκρεμάσθη, καὶ τοῦ κηπουροῦ ἐρωτήσαντος τί ἐκεῖ ποιεῖ κρεμάμενος, ἔλεγεν· «ἐκ τοῦ ὄνου πέπτωκα».

11. παρὰ κῆπον, *in campagna* — ὑπερέχοντα πεπληρωμένον (πληρόω, col genit. *di abbond.*), *prominente carico* — ἐπελάβετο (col genit. *partit*), *si aggrappò a* — ὑπεκδραμόντος (τρέχω), *essendo andato avanti* — ἀπεκρεμάσθη, *fu lasciato sospeso* — πέπτωκα (πίπτω).

---

12. Κυμαῖος ἰδὼν πρόβατον συμπεποδισμένον καὶ οὕτω κειρόμενον, εἶπεν· «εὐχαριστῶ τῷ κυρίῳ μου ὅτι οὐδέποτέ με δήσας ἔκειρε».

12. συμπεποδισμένον (da σύν πούς δέω), *legata coi piedi* — εὐχαριστῶ, *ringrazio* — δήσας (δέω), *legò* (costr. *ipotatt.*).

---

13. Κυμαῖος τοῦ πατρὸς αὐτοῦ ἀποδημήσαντος εἰς βαρὺ ἔγκλημα πεσών, θανάτῳ κατεδικάσθη. ἀπιὼν δὲ παρεκάλει πάντας ἵνα ὁ πατὴρ μὴ γνῷ, ἐπεὶ μέλλοι αὐτῷ θανασίμους πληγὰς ἐπιφέρειν.

13. πεσών (πίπτω) εἰς ἔγκλημα, *caduto in fallo* — κατεδικάσθη, *damnatus est* — ἀπιών (ἄπειμι) παρεκάλει, *morendo scongiurava* — μέλλοι (μέλλω).

14. Ὁ αὐτός, τινὸς εἰπόντος ὅτι « ἐσύλησάς με », μὴ ὑποστρέψω ἔνθεν ἄπειμι, εἰ ἐσύλησα »;

14. ὁ αὐτός; *idem* — ὅτι (cfr. I, 19) — ἐσύλησας, *rubasti* — Costr.: ἄπειμι ἔνθεν μὴ ὑποστρέψω (sott.: ἔφη), *(forse) parto di qua, per non ritornare? rispose.*

---

15. Κυμαίου τις ἐπύθετο ποῦ μένει Δρακοντίδης ὁ ῥήτωρ. « μόνος εἰμί » εἶπεν « εἰ δὲ θέλεις, τήρει τὸ ἐργαστήριον, κἀγὼ ἀπελθὼν δείξω σοι ».

15. ἐπύθετο (col gen *partit.*), *domandò* — ποῦ μένει (tempo del *disc. dir.*), *dove abitava* — τήρει τὸ ἐργαστήριον, *custodisci la bottega* — κἀγὼ (crasi) ἀπελθὼν δείξω (subordinaz.), *ed io verrò ad indicarlo.*

---

16. Κυμαῖος ἐν Ἀλεξανδρείᾳ τοῦ πατρὸς αὐτοῦ ἀποθανόντος τὸ σῶμα τοῖς ταριχευταῖς δέδωκε. μετὰ δὲ χρόνον ἐζήτει αὐτὸ ἀπολαβεῖν. τοῦ δὲ ἔχοντος καὶ ἄλλα σώματα, καὶ ἐρωτῶντος τί σημεῖον ἔχει ἡ τοῦ πατρὸς αὐτοῦ θήκη, ἀπεκρίθη· « ἔβησσεν ».

16. δέδωκε (= ἔδωκε) τοῖς ταριχευταῖς *consegnò agli imbalsamatori* — ἀπολαβεῖν. *di riconsegnare* — ἡ θήκη (con signif. *insolito*), *il corpo.*

---

17. Κυμαῖος πύκτην ἰδὼν πολλὰ τραύματα ἔχοντα, ἠρώτα πόθεν ἔχει ταῦτα. τοῦ δὲ εἰπόντος « ἐκ τοῦ μύρμηκος », ἔφη· « διὰ τί γὰρ χαμαὶ κοιμᾷ »;

17. πύκτην (cfr. πύξ, *pungo, pugnus*), *un pugilatore* — μύρμηξ, usato nel senso di *cesto* (lista di cuoio bullettata, con la quale i pugilatori si avvolgevano le mani nel pugilato), inteso in quello di *formica* (*animale*) — διὰ τί γάρ, *or perchè* — χαμαί, *humi*.

---

18. Κυμαῖος μέλι ἐπίπρασκεν . ἐλθόντος δέ τινος καὶ γευσαμένου καὶ εἰπόντος ὅτι πάνυ καλόν, ἔφη · « εἰ μὴ γὰρ μῦς ἐνέπεσεν εἰς αὐτό, οὐκ ἂν ἐπώλουν ».

18. πάνυ (*omnino*), sott.: *era* — εἰ μὴ ἐνέπεσεν, *nisi incidisset*. Periodo ipot. *irrealtà*.

---

19. Κυμαῖον νοσοῦντα ἀπήλπισεν ὁ ἰατρός . ὁ δὲ ὑγιάνας περιέκαμπτε τὸν ἰατρόν . ἐρωτηθεὶς οὖν τὴν αἰτίαν ἀπεκρίνατο · « εἰπόντος σου « ἀποθνήσκει », αἰσχύνομαι δὲ ζήσας ».

19. ἀπήλπισεν, *dichiarò inguaribile* — ὑγιάνας, *essendosi guarito* (ὑγιαίνω, cfr. *Igea*, dea della salute) — δέ (meglio, δή), *pertanto* — ζήσας (part. *predicat.*), *di essere vissuto*.

---

20. Κυμαῖος ἰατρὸς ἄρρωστον τριταΐζοντα εἰς ἡμιτριταῖον περιστήσας, τὸ ἥμισυ τοῦ μισθοῦ ἀπῄτει.

20. ἄρρωστον (cfr. ῥώννυμι, *sono forte*) τριταΐζοντα, *un ammalato di febbri terzane* — εἰς ἡμιτριταῖον, *in semiterzane* (*che sono ancora più perniciose*).

---

21. Κυμαῖος ἰατρὸς τέμνων τινὰ δεινῶς ἀλγοῦντα καὶ βοῶντα, ἀμβλυτέραν σμίλην μετέλαβε.

21. σμίλην ἀμβλυτέραν, *un bisturi meno affilato*. Letteral. ?

22. Κυμαῖοι δύο ἰσχάδων κεράμια δύο ἐπρίαντο . τούτων δὲ ὁ ἕτερος τὸν ἕτερον λανθάνων οὐκ ἐκ τοῦ ἰδίου, ἀλλ'ἐκ τοῦ ἑτέρου κατήσθιεν . ὡς δὲ τοῖς ἀλλήλων κατεχρήσαντο, ἕκαστος ἐπὶ τὸ ἴδιον ἐπιστρέψας εὗρεν αὐτὸ κενόν . ἀλλήλων οὖν ἐπιλαβόμενοι ἤγοντο ἐπὶ τὸν ἄρχοντα . διαγνοὺς δὲ ὁ ἄρχων, ἐκέλευσε τὰ κενώματα ἀλλάξαι καὶ τὰς τιμὰς ἀλλήλοις ἀποδοῦναι.

22. λανθάνων (con l'*accus*, *me latet.*) τὸν ἕτερον. *di nascosto dall'altro* — ὡς τοῖς (sott. κεραμίοις) κατεχρήσαντο, *cum illis uterentur* — ἐπιλαβόμενοι ἤγοντο, *venuti a litigio si recarono* — τὰς τιμάς (cfr. τίω), *il prezzo* (*dei fichi*).

---

23. Ἐν Κύμῃ δημαγωγὸς ἐν ἐκκλησίᾳ κατηγορηθείς, « ἄνδρες » ἔφη « πολῖται, οἱ μὲν κατεψευσμένοι μου τὰς διαβολάς εἰσιν οὗτοι · γένοιτο αὐτοῖς παρ' ὑμῖν καταγνωσθῆναι · εἰ δέ τι ἐγὼ τούτοις πεποίηκα, πάντων ὑμῶν καθημένων ἐμοὶ μόνῳ τὸ θέατρον ἐπιπέσοι ».

23. οἱ κατεψευσμένοι μου, *quelli che inventano contro di me* — γένοιτο αὐτοῖς παρ' ὑμῖν καταγνωσθῆναι. *siano da voi puniti.* E letteral. ? — εἴ τι, *si quid* (sott. *mali*) — ἐπιπέσοι, *cada sopra* (ottat *desiderat.*).

---

24. Κυμαῖος ἄρχων τοιαῦτα κηρύγματα ἐκήρυξεν · « οἱ ἔφοροι μετὰ τὴν θυσίαν παραχρῆμα τὰς ἑαυτῶν βύρσας ἀναφερέτωσαν πρὸς τὸν ἱερέα . οἱ δὲ βουλευταί, εἰσέλθετε εἰς τὸ βουλευτήριον καὶ μὴ βουλεύεσθε . οἱ δὲ μάγειροι τὰ ἴδια ὀστέα ὑπὲρ τὸ τεῖχος βαλέτωσαν . οἱ δὲ σκυτεῖς μικροὺς καλάποδας μὴ ἐχέτωσαν ».

24. ἄρχων, *un magistrato* — κηρύγματα (ogg. *interno*) ἐκήρυξεν, *emanò editti* — παραχρῆμα, *subito* — καλάποδας (da κᾶλον, *legno*; πούς), *forme di legno.*

25. Κυμαῖοι εἰς ψηφοφορίαν ἀπαντήσαντες καὶ γνόντες πολλοὺς ἐκ τῶν ἄλλων πόλεων ἀπολειφθέντας, αἰτιώμενοι τὴν ἀτραπόν, « μὴ μωροί », ἔφασαν « ἐὰν καὶ ἡμεῖς εἰς τὸ μέλλον οὐκ ἐρχώμεθα »;

25. εἰς ψηφοφορίαν (da ψῆφος, *calculus*; φορέω, *rendo il voto*), *in una elezione* — ἀπολειφθέντας (*intransit.* = *mancavano*), *non erano intervenuti* — μὴ (*num?*) μωροί, (*siamo*) *forse stolti?* Apod. periodo ipot. *eventualità* — εἰς τὸ μέλλον, *per l'avvenire.*

---

26. Κυμαῖος τετρωμένην κεφαλὴν τέμνων, ὕπτιον θεὶς τὸν πάσχοντα, ὕδορ εἰς τὸ στόμα ἐνέβαλεν, ἵνα ἴδῃ διὰ τοῦ χειρουργήματος τὸ πότ' ἐκρεύσει.

26. τετρωμένην (τιτρώσκω), *ferita* — ὕπτιον (cfr. ὑπό), *supino* — τὸ πότ' ἐκρεύσει (ῥέω), *se mai scorreva.*

CAP. VII. — I Fastidiosi.

1. Δυσκόλῳ ἰατρῷ προσελθών τις εἶπε · « σοφιστά, ἀνακεῖσθαι οὐ δύναμαι, οὐδὲ ἑστάναι, ἀλλ' οὐδὲ καθῆσθαι » καὶ ὁ ἰατρὸς εἶπεν · « οὐδέν σοι λείπει ἢ κρεμασθῆναι ».

1. δύσκολος, *fastidioso* — ἀνακεῖσθαι, *riposare* — ἑστάναι (per ἑστηκέναι, inf. perf. di ἵστημι), *star ritto* — καθῆσθαι (ἧμαι), *sedere.*

---

2. Δυσκόλῳ ἰατρῷ τις λέγει · « τί ποιήσω, ὅτι αἷμα κάθημαι καὶ χολάς »; κἀκεῖνος πρὸς αὐτὸν εἶπεν · « ἐὰν καὶ τὰ ἔντερά σου ἐκβάλῃς, ἐγὼ οὐ χολῶ ».

2. κάθημαι (= ἐκβάλλω) — τὰ ἔντερα (specie di *comparat. di* ἐν), *gl'intestini*. — Periodo ipot. *eventualità*.

---

3. Δύσκολος ἰατρὸς ἑτερόφθαλμος ἠρώτα νοσοῦντα · « πῶς ἔχεις » ; εἶπεν · « ὡς βλέπεις » . ὁ δὲ ἰατρὸς ἔφη · « ἐὰν ὡς ἐγὼ βλέπω ἔχῃς, τὸ ἥμισύ σου ἀπέθανε ».

3. ἑτερόφθαλμος, *altero oculo orbus* — πῶς ἔχεις (con un *avverb.*, si adopera come *intransit.*), *come stai?* — ἀπέθανε, *sarebbe morta*. Apodosi, *eventualità*.

---

4. Πρὸς δύσκολον ἰατρὸς προσελθὼν καὶ ἀψάμενος αὐτοῦ, εἶπε · « κακὰ πυρέττεις » . ὁ δὲ ἀποκριθεὶς ἔφη · « εἰ δύνασαι σὺ κρείττω πυρέττειν, ἰδοὺ κλίνη · ἀναπεσὼν πύρεττε ».

4. ἁψάμενος (col genit. *partit*), *dopo aver toccato* — κακὰ πυρέττεις (πῦρ, *febris*), *hai una brutta febbre* — ἰδού (ὁράομαι), *ecco, questo è*.

---

5. Δύσκολος ἀστρολόγος παιδὸς νοσεροῦ γένεσιν λέγων, πολυχρόνιον αὐτὸν τῇ μητρὶ ἔσεσθαι ἐπαγγειλάμενος, ᾔτει τὸν μισθόν . τῆς δὲ εἰπούσης « ἐλθόντι σοι αὔριον δώσω », ἔφη · « τί οὖν ; ἐὰν τὴν νύκτα ἀποθάνῃ, καὶ ἐγὼ τὸν μισθὸν ἀπολῶ » ;

5. ἔσεσθαι πολυχρόνιον (acc. *di durata*), *sarebbe vissuto per una lunga serie di anni* — ἐλθόντι δώσω (subordinaz.), *vieni e* (*la*) *darò* — τί οὖν, *ecquid?* — ἐὰν ἀποθάνῃ, *se muore*. Protasi, *eventualità*.

---

6. Δυσκόλου κεράμιον μέλιτος ἀγοράσαντος καὶ ὑπό τινος ἐρωτηθέντος πόσου ἠγόρασεν, καταστρέφων τὸ κεράμιον ἔλεγεν · « οὕτω μου ἐκχυθείη τὸ αἷμα, ἐὰν εἴπω ὑμῖν ».

6. ἐρωτηθέντος ὑπό τινος — *essendogli stato chiesto da uno* (costruz. *person.*) — πόσου, *quanti* (genit. *di prezzo*) — ἐγχυθείη (χέω, *ottat. desider.*), *si versi.*

---

7. Δυσκόλου ταβλίζοντος, κατεπέτασσέ τις ἀργὸς καθήμενος. ὁ δὲ θυμούμενος ἠρώτησεν αὐτόν · «ποίας τέχνης; καὶ διὰ τί ἀργεῖς»; ἐκείνου δὲ εἰπόντος ὅτι «ῥάπτης μέν εἰμι, ἔργον δὲ οὐκ ἔχω», διαρρήξας τὸν ἑαυτοῦ χιτῶνα, καὶ ἐπιδούς, εἶπε · «λαβὼν ἐργάζου καὶ σιώπα».

7. ταβλίζοντος, *mentre giocava a scacchi* — ἀργός (contr. di ἄεργος *senza lavoro*), *un ozioso* — ποίας τέχνης (genit. di *qualità*), *che arte fai?* — λαβὼν ἐργάζου (subordinaz.), *prendi e lavora.*

---

8. Δύσκολόν τις ἠρώτα · «ποῦ μένεις»; ὁ δὲ εἶπεν · «ἐκεῖθεν μεταβαίνω».

8. ποῦ μένεις, *dove sei?* — ἐκεῖθεν, *inde.*

---

9. Δύσκολόν τις ἐζήτει . ὁ δὲ ἀπεκρίνατο · «οὐκ εἰμὶ ὧδε» . τοῦ δὲ γελάσαντος καὶ εἰπόντος «ψεύδῃ · τῆς γὰρ φωνῆς σου ἀκούω», εἶπεν · «ὦ κάθαρμα, εἰ μὲν ὁ δοῦλός μου εἶπεν, εἶχες ἂν αὐτῷ πιστεῦσαι · ἐγὼ δέ σοι οὐ φαίνομαι ἀξιοπιστότερος ἐκείνου εἶναι»;

9. Cfr. l'aneddoto di Scipione e di Ennio, presso Cicerone (De Orat. 2, 68). οὐκ εἰμὶ ὧδε (*hic*), *non ci sono* — ψεύδῃ (ψεύδομαι), *menti* — ἀκούω (col. *genit.*) — εἰ εἶπεν, *se avesse detto.* Protasi, *irrealtà* — εἶχες ἂν αὐτῷ πιστεῦσαι, *gli avresti creduto.* Costr. *singol. circoscr.;* invece dell'*aor.* (pperf.) con ἄν — οὔ σοι φαίνομαι, *nonne tibi videor?* (costruz. *person.*).

10. Δύσκολος καταβαίνων σκάλαν, σφαλεὶς κατέπεσε. τοῦ δὲ οἰκοκυροῦ εἰπόντος « τίς ἔνι ἐκεῖ »; « ἐγὼ » ἔφη « ἐντὸς τοῦ ἐνοικίου μου ἐλάκησα · τί πρὸς σέ » ;

10. σκάλαν (voc. *lat.*) — οἰκοκυρός (voc. *singol.*), *padron di casa* — τίς ἔνι (= ἔνεστι) ἐκεῖ, *chi va là?* — ἐλάκησα (λάσκω) — ἐντὸς (*intus*) τοῦ ἐνοικίου μου, *nella mia casa* — τί πρὸς σέ, *quid ad te?*

CAP. VIII. — Gl'ignoranti.

1. Ἀφυὴς γραμματικὸς ἐρωτηθείς « πῶς δεῖ λέγειν, τοῖς δύο ἢ τοῖς δυσίν »; ὁ δὲ τὴν χεῖρα προτείνας, τοὺς δύο ἐπεδείκνυε δακτύλους.

1. ἀφυής (ἀ-φυή, *senza disposizione naturale*), *ignorante* — τοῖς δύο ἢ τοῖς δυσίν (non si può rendere in italiano letteralmente), traduci: *a due, ovvero ai due?* — ὑπεδείκνυε (δεικνύω).

---

2. Ἀφυὴς γραμματικὸς ἐρωτηθείς « ἡ μήτηρ Πριάμου τίς ἐκαλεῖτο »; ἀπορῶν ἔφη · « ἡμεῖς κατὰ τιμὴν κυρίαν αὐτὴν καλοῦμεν ».

2. Quest'aneddoto ricorda i versi della Satira 7ª di Giovenale:

> ...saevas imponite leges,
> auctores noverit omnes... dicat
> nutricem Anchisae, nomen patriamque novercae
> Anchemoli.

ἀπορῶν, *imbarazzato*.

3. Ἀφυὴς κουρεὺς τοῖς ὑπ᾽ αὐτοῦ πληττομένοις ἔμπλαστρα προσετίθει. ἑνὸς δὲ αἰτιασαμένου αὐτὸν ἔφη· «ἀχάριστε, μάτην ἀγανακτεῖς· ἑνὸς γὰρ δηναρίου ξυράμενος τεσσάρων δηναρίων ἔμπλαστρα ἔλαβες».

3. τοῖς πληττομένοις (πλήσσω, cfr. *plaga, flagellum*), *a quelli che erano piagati* — μάτην, *a torto* — ἑνὸς δηναρίου (genit. *di prezzo*), *per un denaro* (*quanti doceo, ceno*) — τεσσάρων ἔμπλαστρα ἔλαβες, *te ne prendesti quattro d'impiastri.*

---

4. Ἀφυὴς μαθητὴς κακῶς τινα κείρας καὶ παρωνυχίδας ποιήσας, καὶ διὰ τοῦτο ὑπὸ τοῦ ἐξονυχιζομένου ἀπωσθείς, ἀνεβόησεν· «ἐπιστάτα, τί οὐκ ἀφίης με μαθεῖν»;

4. μαθητής, *garzone* (*di barbiere*) — κείρας, *avendo raso* — παρωνυχίδας (cfr. ὄνυξ, *unghia*), *tagli sul viso* — ὑπὸ τοῦ ἐξονυχιζομένου, *dal barbiere* — ἀπωσθείς (ὠθέω), *essendo stato licenziato* — τί οὐκ ἀφίης (ἵημι), *perchè non perdoni?*

---

5. Ἀφυὴς μαθητὴς ὑπὸ τοῦ ἐπιστάτου κελευσθεὶς ὀνυχίσαι οἰκοδεσπότην, ἐδάκρυσε. τοῦ δὲ τὴν αἰτίαν ἐρωτήσαντος, ἔφη· «φοβοῦμαι καὶ κλαίω· μέλλω γὰρ τραυματίσειν σε καὶ παρωνυχίδας ποιήσειν, καὶ τύψει με ὁ ἐπιστάτης».

5. ἐδάκρυσε, *scoppiò a piangere.*

---

6. Ἀφυεῖ μάντει προσελθών τις ἐξ ἀποδημίας ἐπανιών, ἠρώτα περὶ τῶν οἰκείων. ὁ δὲ εἶπεν· «ὑγιαίνουσι πάντες, καὶ ὁ πατήρ σου». τοῦ δὲ εἰπόντος ὅτι «ὁ πατήρ μου δέκατον ἔτος ἔχει ἀφ᾽ οὗ ἀπέθανεν», ἀπεκρίνατο· «οὐδὲ γὰρ οἶδας τὸν κατὰ ἀλήθειάν σου πατέρα».

6. ἐπανιόν (εἶμι), *tornando* — ἐξ ἀποδημίας, *da un viaggio* — περὶ τῶν οἰκείων, *della* (*sua*) *famiglia* — κατὰ ἀλήθειαν (cfr. ἀληθής), (sott. *è*) *nella pienezza del* (*suo*) *essere.*

---

7. Ἀφυὴς μαθηματικὸς παιδίου γένεσιν λέγων, εἶπεν · « οὗτος ἔσται ῥήτωρ, εἶτα ἔπαρχος, εἶτα ἡγεμών » . τεθνηκότος οὖν τοῦ παιδός, τούτου ἡ μήτηρ τὸν μισθὸν ἀπαιτήσασα εἶπεν · « ὃν ἔλεγες ῥήτορα ἔσεσται καὶ ἄρχοντα καὶ ἡγεμόνα, ἀπέθανεν » . ὁ δὲ ἔφη · « μὰ τὴν αὐτοῦ μνήμην, εἰ ἔζησε, πάντα ταῦτ' ἂν ἐγένετο ».

7. μαθηματικός, *un astrologo* — γένεσιν, *la ventura* — εἰ ἔζησε, *se viveva.* Protasi, *irrealtà.*

---

8. Ἀφυεῖ μάντει προσελθών τις ἠρώτα εἰ ὁ ἐχθρὸς αὐτοῦ ἐξ ἀποδημίας ἥξει . ὁ δὲ εἶπεν ὅτι οὐκ ἔρχεται . ὡς δὲ ἔμαθε μεθ'ἡμέρας παραγενόμενον αὐτόν, ἔφη · « οὐδὲν αὐτοῦ ἀχρωμότερον ».

8. παραγενόμενον (part. *predicat*), *che era tornato* — μεθ'ἡμέρας, *durante il giorno* — ἀχρωμότερον (cfr. χρῶμα, *colore*) αὐτοῦ (gen. di *compar.*), *più svergognata di lui.* Trad.: *Egli è l'uomo più svergognato.*

---

9. Ἀφυὴς μαθηματικὸς μακρολογῶν τινὰ ἔφη · « οὐκ ἦν σοι κατὰ γένος τεκνῶσαι » . τοῦ δὲ εἰπόντος ὅτι « ἑπτὰ παῖδας ἔχω », εἶπεν · « οὐκοῦν πρόσεχε αὐτοῖς ».

9. μακρολογῶν, *ingarbugliando* — οὐκ ἦν σοι (*tibi non erat*), *non potevi* — κατὰ γένος τεκνῶσαι, *generare figliuoli* — πρόσεχε (sott. νοῦν) αὐτοῖς, *poni mente a loro* (con intenzione malevola).

CAP. IX. — I TIMIDI.

1. Δειλὸς ἐρωτηθείς « ποῖα τῶν πλοίων ἀσφαλέστερα, τὰ μακρὰ ἢ τὰ στρογγύλα »; ἔφη · « τὰ νενεωλκημένα ».

1. Diogene Laerzio attribuisce questo aneddoto ad Anacarsi, ed Ateneio a Strabone . ἀσφαλέστερα, *più salde* — τὰ νενεωλκημένα, *quelle tirate in secco.*

---

2. Δειλὸς κυνηγὸς συνεχῶς τὴν νύκτα ὑπὸ ἄρκτου διωκόμενος ἐν ὕπνῳ, κύνας μισθωσάμενος μεθ' ἑαυτοῦ ἐκοίμιζεν.

2. κυνηγός (da κύων ἡγέομαι, *conduco i cani a caccia*), *un cacciatore* — τὴν νύκτα (acc. di *durata*), *durante la notte* — ἐκοίμιζεν, *se li coricava.*

CAP. X. — I PIGRI.

1. Ὀκνηρῶν δύο ὁμοῦ κοιμωμένων, εἰσελθὼν τις κλέπτης τὸν σάγον ὑποσύρας ἔκλεψε . τοῦ δὲ ἑνὸς αἰσθομένου καὶ πρὸς τὸν ἕτερον εἰπόντος « ἀναστὰς φθάσον τὸν κλέψαντα τὸν σάγον », εἶπεν · « ἄφες · ὅταν ἔλθῃ ἐπᾶραι τὴν τύλην, κρατοῦμεν αὐτὸν οἱ δύο ».

1. σάγον (voc. *lat.*), *sagum* — ἀναστὰς (ἵστημι) φθάσον (φθάνω), *levati e raggiungi* (subordinaz.) — ἄφες (ἵημι), *sta' zitto* — ἐπᾶραι (αἴρω), *a rubare* — οἱ δύο, *noi in due.*

2. Ὀκνηρῷ υἱῷ ἐκέλευσεν ὁ πατὴρ εἰς τὸν γείτονα ἀπελθεῖν καὶ χρήσασθαι ἀξίνην . ὁ δὲ ἔφη · « οὐ δίδωσι » . τοῦ δὲ πατρὸς ἐπιμένοντος, ἀπεκρίνατο · « ἐγώ εἰμι ὁ γείτων, καὶ ἀξίνην οὐκ ἔχω ».

2. ἐπιμένοντος (gen. *assol.*), *poichè insisteva.*

---

3. Ὀκνηρὸς ὀκνηρῷ δηνάριον ἐχρεώστει . ὑπαντήσας δὲ αὐτῷ ᾔτει τὸ δηνάριον . τοῦ δὲ εἰπόντος « ἔκτεινόν σου τὴν χεῖρα καὶ λῦσόν μου τὸ μάπουλον καὶ ἆρον τὸ δηνάριον », ὁ ἕτερος ἔφη · « πορεύου · ἔνθεν οὐδέν μοι χρεωστεῖς ».

3. ἐχρεώστει, *doveva dare* (= ὤφειλε, *era debitore*) — τὸ μάπουλον, *il borsellino* — ἆρον (αἴρω), *prendi* — πορεύου, *va'* — ἔνθεν, *d'ora in avanti.*

CAP. XI. — Gl' invidiosi.

1. Φθονερὸς οἰκοδεσπότης τοὺς ἐνοίκους ἰδὼν εὐτυχοῦντας, ἐκ τοῦ οἴκου αὐτοῦ ἐξεδίωξε.

1. οἰκοδεσπότης (voc. *singol.*), *un padrone di casa* — ἐξεδίωξε (διώκω).

---

2. Φθονερὸς ἰδὼν τὸν γείτονα θηριομαχοῦντα, λέγει τῷ κυβερνήτῃ · « ἄρκος ».

2. θηριομαχοῦντα (θὴρ μάχομαι, *uccido belve*), *carico di selvaggina* — τῷ κυβερνήτῃ (*gubernator*), *al capocaccia* — ἄρκος (= ἀρκετός), (*è*) *sufficiente.* Trad.: *può bastare.*

3. Ἄλλος διὰ δειλίαν ἐπέγραψεν ἐπὶ τοῦ μετώπου « ὁ τόπος τῶν καιρίων ». παιόμενος οὖν συνεχῶς εἶπε πρὸς τὸν παίοντα · « μή τι οὗτος γράμματα οὐκ οἶδε, καὶ ἀναιρεῖ με »;

3. ὁ τόπος (sott. ἐστὶ) τῶν καιρίων (gen. *partit.*), *questa è una delle parti delicate* (*mortali del corpo*) — μή τι, *numquid?* — γράμματα, *leggere* — καὶ (= *et ideo*). Costr. *singol.*

CAP. XII. — Gli affamati.

1. Λιμόξηρος λιμοξήρῳ θυγατέρα ἐκδιδοὺς καὶ ἐρωτώμενος τί αὐτῇ προῖκα δίδωσιν, « οικίαν » ἔφη « δίδωμι, ἧς αἱ θυρίδες εἰς τὸ ἀρτοκοπεῖον βλέπουσι ».

1. ἐκδιδούς, *mentre dava in isposa* — προῖκα, *in dote* (compl. *pred. dell'ogg.*) — ἀρτοκοπεῖον, *forno*.

---

2. Λιμόξηρος ἰδὼν ἄρτον ἐν ὑπερθύρῳ κείμενον εἶπε · « θεέ, ἢ ἐμὲ ὕψοσον ἢ τοῦτον ταπείνωσον ».

2. λιμόξηρος (λιμός, *fame*; ξηρός, *estenuato*), *un affamato* — ἐν ὑπερθύρῳ, *in cima ad una porta* — ὕψοσον, *solleva* — ταπείνωσον, *abbassa*.

---

3. Λιμόξηρος ἀπελθὼν εἰς κηπουρὸν ἔδωκε τέσσαρα δηνάρια, ἵνα σῦκα ὅσα ἐθέλει φάγῃ. τοῦ δὲ καταφρονήσαντος καὶ εἰπόντος « ἀπὸ τῶν παρακειμένων δένδρων φάγε ὅσα δύνασαι », ἀνελθὼν εἰς μεγάλας συκέας καὶ ἀπὸ κορυφῆς ἀρξάμενος πάντα

κατήσθιε. μετὰ δὲ πολλὴν ὥραν ἀναμνησθεὶς ὁ κηπουρὸς ἐπιζητεῖ αὐτόν. ὡς δὲ εἶδεν εἰς ὕψος σαλεύοντα τοὺς κλάδους καὶ ἐσθίοντα, ἀγανακτήσας εἶπε· « κάτω ἑστὼς οὐκ ἠδύνω ἐκ τῶν ἐπικειμένων κλάδων φαγεῖν »; ὁ δὲ ἀπεκρίνατο· « ἐκεῖνα, ὡς καταβαίνω, τρώγω ».

3. ἑστώς, *stando* — ὡς καταβαίνω, *mentre discendo* — τρώγω ἐκεῖνα, *mangio quelli.*

---

4. Λιμόξηρος ἀρτοπράτῃ προσελθὼν ᾔτει δοῦναι δηνάρια δύο, ἵνα ἄρτων χορτασθῇ. τοῦ δὲ, λογισαμένου ἕνα ἄρτον αὐτῷ ἀρκέσειν, λαβόντος τὰ δηνάρια, ἤρξατο τρώγειν. ὁ δὲ τοῦ κοφίνου ἀρξάμενος ἑστὼς τὸ ἥμισυ ἔφαγε. τοῦ δὲ ἀρτοπράτου θαμβηθέντος καὶ εἰπόντος ὅτι « κάθισον καὶ οὕτω φάγε », ἀπεκρίνατο· « τοὺς μὲν ἐν τῷ κοφίνῳ ἄρτους βούλομαι ἑστὼς φαγεῖν, τοὺς δὲ ἐν τῇ προβολῇ καθήμενος ».

4. ἀρτοπράτῃ (ἄρτος, *pane*; πιπράσκω, *vendo*), *da un panettiere* — ἵνα χορτασθῇ, *per potersi saziare* — κάθισον (καθίζω, *sido*), *siedili* — ἐν τῇ προβολῇ, *nella vetrina* — καθήμενος (κάθημαι, *sedeo*).

CAP. XIII. — Gli ubriachi.

1. Μεθύσῳ ἐν καπηλείῳ πίνοντι ἐπιστάς τις ἔφη· « ἡ γυνή σου ἀπέθανεν ». ὁ δὲ ἀκούσας πρὸς τὸν κάπηλον ἔφη· « οὐκοῦν, αὐθέντα, ἐκ τοῦ μελανοῦ κέρασον ».

1. ἐπιστάς, *essendosi avvicinato* — κέρασον, *mesci* — ἐκ τοῦ μελανοῦ, *del (vino) nero.*

2. Μέθυσος ἀτυχὴς ἀμπελῶνα κτησάμενος, τῷ τρυγητῷ ἀ-
πέθανε.

2. τῷ τρυγετῷ, *al tempo della vendemmia.*

---

3. Μέθυσος καπηλεῖον ἀνοίξας, εἰς τὸ πρόθυρον ἄκτον ἔ-
δησε.

3. ἀνοίξας (οἴγνυμι), *entrato* — ἄκτον (forse, ἄρκτον, *un orso*) affinchè, mentre beveva, nessuno entrasse a disturbarlo.

CAP. XIV. — I FLATULENTI.

1. Ὀζόστομος θέλων ἰδίῳ θανάτῳ ἀποθανεῖν, περικαλυψά-
μενος ἐχασμᾶτο.

1. ὀζόστομος (ὄζω, cfr. *odor*; στόμα, *bocca*), *un uomo dalla bocca fetida.*

CAP. XV. — I MISOGENI.

1. Μισογύναιος νοσήσας ἐν ἀπογνώσει, τῆς δὲ γυναικὸς αὐτῷ εἰπούσης « ἐάν τι πάθῃς, ἀπάγξομαι », ἀναβλέψας πρὸς αὐτὴν εἶπε · « ζῶντί μοι τοῦτο χάρισαι ».

1. ἐν ἀπογνώσει, *gravemente* — ζῶντί μοι τοῦτο χάρισαι (χαρίζομαι), *ora che son vivo fammi questa grazia.*

2. Μισογύναιος γυναῖκα ἔχων γλωσσώδη καὶ λοίδορον, τελευτησάσης δὲ αὐτῆς, ἐπὶ θυρεοῦ, ἐξέφερε . τινὸς δὲ ἰδόντος καὶ τὴν αἰτίαν ἐρωτήσαντος, ἀπεκρίνατο · « μαχίμη γὰρ ἦν ».

2. γλωσσώδη καὶ λοίδορον, *linguacciuta e maledica.*

CAP. XVI. — Aneddoti varii.

1. Σχολαστικὸς μαθὼν ὅτι ὁ κόραξ ὑπὲρ τὰ διακόσια ἔτη ζῇ, ἀγοράσας κόρακα εἰς ἀπόπειραν ἔτρεφεν.

1. μαθὼν ὅτι, *avendo appreso che.* Con l' *inf.* invece, significa *imparo a fare una cosa* — ὑπὲρ τά, *più di* — εἰς ἀπόπειραν, *per (farne) esperimento.*

---

2. Σχολαστικὸς εἰς χειμῶνα ναυαγῶν, καὶ τῶν συμπλεόντων ἑκάστου περιπλεκομένου σκεῦος πρὸς τὸ σωθῆναι, ἐκεῖνος μίαν τῶν ἀγκυρῶν περιεπλέξατο.

2. In quest'aneddoto son da sopprimere, perchè viziosi, **καὶ** ed **ἐκεῖνος** . ναυαγῶν (cfr. ναυάγνυμι, *naufragus*), *mentre naufragava* — περιπλεκομένου σκεῦος, *poichè si aggrappava a qualche ordigno.*

---

3. Σχολαστικὸς υἱὸν θάψας καὶ συναντήσας τῷ διδασκάλῳ αὐτοῦ, εἶπε · « προσῆλθεν ὁ παῖς »; ὁ δέ φησιν · « οὔ » . « λοιπὸν οὖν, καθηγητά, τέθνηκεν ».

3. λοιπόν (acc. *avv.*), *del resto* — καθηγητά, *o maestro.*

4. Σχολαστικὸς παιδοτρίβης ἀκούσας περὶ μαθητοῦ ὅτι νοσεῖ, τῇ δὲ ἑξῆς ὅτι πυρέττει, ὕστερον δὲ παρὰ τοῦ πατρὸς ἀκούσας ὅτι ἀπέθανεν, ἔφη · « οὕτω προφασιζόμενοι οὐκ ἐᾶτε τοὺς παῖδας μανθάνειν ».

4. παιδοτρίβης, *maestro* — τῇ ἑξῆς (avv.), *il giorno seguente* — ὕστερον, *più tardi* — προφασιζόμενοι, *accampando scuse.*

---

5. Λιμόξηρος ὕπαρχος τὸ βῆμα αὐτοῦ ἐκέλευσε πρὸς ἀρτοκοπεῖον γενέσθαι.

5. τὸ βῆμα (cfr. βαίνω) γενέσθαι, *al passo di marciare.*

---

6. Εὐτράπελος ἀποδημήσας καὶ κηλήτης γενόμενος, ἐπανελθὼν ἠρωτᾶτο τί ἤγαγεν . ὁ δὲ « σοὶ μέν » εἶπεν « οὐδέν, τοῖς δὲ μηροῖς μου προσκεφαλάδιον ».

6. τί ἤγαγεν, *che cosa aveva fatto* (tempo del *disc. diretto*) — τοῖς μηροῖς (dat. *incommodi*), *per le gambe* — προσκεφαλάδιον, *un guancialetto.*

---

7. Εὐτράπελος ἐπὶ ἡγεμόνος ἐδικάζετο . τοῦ δὲ νυστάζοντος, ἐβόησεν · « ἐκκαλοῦμαι » . ὁ δὲ ἔφη · « ἐπὶ τίνα »; κἀκεῖνος· « ἐπί σε γρηγοροῦντα ».

7. Per quest'aneddoto cfr. Plutarco (Apophth. reg. Philippi, 24). ἐδικάζ..., *veniva tratto dinanzi ad un magistrato* — νυστάζοντος (cfr. νεύω, *nuo*, *nutus*), *poichè sonnecchiava* — ἐπί σε γρηγοροῦντα (ἐγείρω), *per svegliarti.*

8. Σχολαστικὸς 'Αμιναίαν ἔχων, ἐσφάγισεν αὐτήν . τοῦ δὲ δούλου κάτωθεν τρήσαντος καὶ τὸν οἶνον αἴροντος, ἐθαύμαζεν ὅτι, τῶν σημάντρων σώων ὄντων, ὁ οἶνος ἐλαττοῦται . ἕτερος εἶπεν · « ὅρα μὴ κάτωθεν ἀφηρέθη » . ὁ δὲ « ἀμαθέστατε », εἶπεν « οὐ τὸ κάτωθεν λείπει, ἀλλὰ τὸ ἄνωθεν μέρος ».

8. 'Αμιναίαν, *una botte di Amineio* (specialità di vino). Aminea, città dell'Agro Piceno — τρήσαντος (τιτραίνω), *avendo forato* — ἐλαττοῦται, *era scemato* - μὴ ἀφηρέθη (αἰρέω), *che non sia stato spillato* — τὸ κάτωθεν (sott. μέρος), *la parte inferiore, il fondo* — λείπει (con signif. *intransit.*), *manca.*

INDICE

ERRATA				CORRIGE
pag. 20	v.	13	εῖς	εἶς
„ 24	v.	19	εῖπε	εἶπε
„ 34	v.	4	εῖτα	εἶτα
	Similmente,		εῖναι (e simili) *passim* (per necessità tipografiche	εἶναι (e simili)
„ 39	v.	3	*is*	*io*
„ 57	v.	23	*bisturi*	*bisturì*

Opere del Dott. Prof. LUIGI CASIELLO

M. Fabio Quintiliano pedagogista. Studio comparat della pedagogia moderna. Con l'aggiunta di un' pendice " *Le fonti pedagogiche delle* **Istituzioni or rie** „. Paravia, 1901 . . . . . . L.

Ninive. Carmen. Versibus CCC hexametris exarat *Menzione onorevole*, nel Concorso internazionale *Amsterdam*, del 1909. Paravia, 1903 . L.

Il dualismo psichico di Francesco Petrarca. Para 1904 . . . . L.

Aneddoti greci di Jerocle e Filagrio, tradotti in itali **per la prima volta.** Paravia, 1906 . . . L.

Appendice riservata agli aneddoti greci di Jerocle e lagrio, prima traduzione italiana (esaurita). Para 1908.

Le donne e gli amori nell'arte e nella vita di Gi Carducci. Cassino, Società tipogr. editr. meridi le, 1909 . . . . L.

In corso di stampa:

Aneddoti greci di Jerocle e Filagrio, tradotti dal g **per la prima volta,** 2ª edizione, riveduta e corr Con un' *Appendice* " **Ninive,** Carmen, 2ª edizio *tradotto in italiano.*

Prezzo del presente volume **L. 5,00**